procinus interemerint, descendent cruda ad ventrem, atque ita difficultatem creabunt intestinorum. At si præ nimia sui copia humor excerni nequiuerit, quartanæ iis orientur, qui euadere mortem potuerunt, etiam si illud intestinorum vitium omnino quieuerit. Quod enim crudi humoris subtersedit, stabile, firmúmque vehementer modo atræ bilis adhæret. 20 Cur si æstas, aut autũnus, imbres austrósque habuerunt, hiems grauis consequi soleat? an quòd hiems corpora præhumida excipit, mutatio etiam ingens occurrit. Non enim paulatim, sed repentè ex calore immodico ad frigoris acerbitatem venitur, quando autumnus quoque tepidus extitit. Itaque qui denso corpore sunt, hos morbi extorqueant acuti, necesse est: his enim humida excrementa suprà potiùs colliguntur, cùm partes superiores humoribus huiuscemodi opportunas, inferiores inhabiles illi habeant. Ideóque qui tali textura corporis sunt, non multa excrementa sibi admittunt. Cùm igitur, qui locis superioribus corporis humor excreuerit, infrigescere incipit, fit vt prædicta vitia oriantur, quemadmodum vinolentis propè accidit, algent. At quibus laxius corpus est, iis febribus orsis euenit, vt quæ summa de cruditate febres constiterint, transeant in ardores, quoniam his magis totum corpus ab humoribus occupatur, quàm densa illis mole cõstantibus, éxque vi frigoris coacto eorum corpore humores incalescentes febres accendunt: superans enim calor totius corporis febris est: & si idem nimio intendatur humore, ardor effici potest. 21 Cur annus pestilens tunc inuadit, cùm sol multum vaporis de terra excitat? An tunc annus humidus, pluuiúsque significetur, necesse est, terrámque madescere necessarium. Fit igitur, quasi locis palustribus, grauibúsque proinde inhabitetur, & corpora quoque multis tunc excrementis redundare necessarium est, ita vt ægrotandi materiam habeant in æstate. 22 Cur grauis tunc adeat annus, cùm copia est pusillarum ranarum, quæ rubetarum faciem repræsentant? An res vnaquæque loco suæ naturę idoneo abundare solita est. Itaque eiusmodi animantium genus cùm naturâ humidum sit, humidum pluuiúmque annum ob eã ipsam causam indicat. Anni eiusmodi verò graues proculdubio sunt. Quibus enim corpora facta perhumida fuerint, multis idcirco excremẽtis premũtur, quæ causæ sunt, vt morbi proueniant.

A τὰ περιττώματα εὐθὺς ἀνέλῃ, καταβαίνουσιν εἰς τὰς κοιλίας ἄπεπτα ὄντα· τοῦτο δέ ἐστι δυσεντερία· διὰ [δὲ] τὸ μὴ ἐκκρίνεσθαι ὑπὸ πλήθους τὸ ὑγρόν. καὶ ἐὰν παύσωνται τεταρταῖοι γίνονται τοῖς σωζομένοις. ἡ γὰρ τοῦ ἀπέπτου ὑπόστασις, μονιμωτάτη ἐστί, καὶ σύντονος γίνεται τῷ σώματι, καθάπερ ἡ μέλαινα χολή. κ Διὰ τί ἐὰν τὸ θέρος ἔπομβρον γένηται B καὶ νότιον, καὶ τὸ μετόπωρον, ὁ χειμὼν νοσερὸς γίνεται; ἢ ὅτι σφόδρα ὑγρὰ τὰ σώματα ὁ χειμὼν λαμβάνει, καὶ ἡ μεταβολὴ ἔτι μεγάλη γίνεται ἐξ ἀλέας πολλῆς, καὶ οὐκ ἐκ προσαγωγῆς, διὰ τὸ καὶ τὸ μετόπωρον γίνεσθαι ἀλεεινόν; ὥστε τοῖς μὲν γίνεσθαι ἀνάγκη τὰ ὀξέα νοσήματα, μὴ ἀραιοῖς οὖσι. τοῖς γὰρ τοιούτοις, ἄνω μᾶλλον τὰ ὑγρὰ περιττώματα ἀθροίζεται, διὰ τὸ τούτοις μὲν τοὺς τόποις ἔχειν χώ- C ραν, τοὺς δὲ κάτω ἑτέροις εἶναι), οἱ οὖν ὄντες πυκνόσαρκοι, οὐ πολλὰ περιττώματα δέχονται. ψυχομένης οὖν τῆς περιττώσεως τῆς ἐν τοῖς ἄνω μέρεσι τοῦ σώματος, ὥσπερ τοῖς οἰνωμένοις ὅταν ῥιγῶσι, τὰ εἰρημένα [νοσήματα.] συμβαίνει γίνεσθαι. τοῖς δὲ ἀραιοτέροις πυρετῶν γινομένων, τοὺς ἀπὸ πλείστης ἀπεψίας γινομένους D πυρετοὺς, καύσοις συμβαίνει γίνεσθαι, διὰ τὸ τοῖς τοιούτοις ἐσκεδάσθαι μὲν μᾶλλον κατὰ πᾶν τὸ σῶμα τὰ ὑγρὰ, ἢ τοῖς πυκνοσάρκοις· συνισταμένης δὲ τῆς σαρκὸς αὐτῶν ὑπὸ τοῦ χειμῶνος, θερμαινόμενα τὰ ὑγρὰ, πυρετοὺς ποιεῖν. ἡ γὰρ παντὸς τοῦ σώματος ὑπερβάλλουσα θερμότης, ἐστὶ πυρετός· ἐπιτεινομένη δὲ διὰ τὸ πλῆθος τῆς ὑπαρχούσης αὐτοῖς ὑγρότητος, καῦσος γίνεται. E κα Διὰ τί ὅταν ἐκ γῆς ἀνίῃ ἀτμὸς πολὺς ὑπὸ τοῦ ἡλίου, τὸ ἔτος λοιμῶδες γίνεται; ἢ ὅτι ὑγρὸν ἀνάγκη καὶ ἔπομβρον τὸ ἔτος σημαίνειν, καὶ τὴν γῆν ὑγρὰν ἀνάγκη εἶναι; δεῖ οὖν ἐν ἑλώδει τόπῳ ἡ οἴκησις γίνεται. νοσώδης δὲ ἡ τοιαύτη ἐστί. καὶ τὰ σώματα δὴ τότε ἀνάγκη περίττωμα πολὺ ἔχειν· ὥστε ἐν τῷ θέρει ἔχειν ὕλην νοσώδη. κβ Διὰ τί γίνεται τὰ ἔτη νοσώδη, F ὅταν γένηται φορὰ τῶν μικρῶν βατράχων τῶν φρυνοειδῶν; ἢ ὅτι ἕκαστον εὐθενεῖ ἐν τῇ οἰκείᾳ χώρᾳ τῆς φύσεως; καὶ ταῦτα δὴ φύσις ἐστὶν ὑγρά· ὥστε ἔπομβρον καὶ ὑγρὸν σημαίνειν τὸν ἐνιαυτὸν γίνεσθαι. τὰ δὲ τοιαῦτα ἔτη, νοσώδη ἐστίν. ὑγρὰ γὰρ τὰ σώματα ὄντα, πολὺ ἔχει τὸ περίττωμα· ὅ ἐστι τῶν νόσων αἴτιον.

κγ.